Τῷ εὐσεβεστάτῳ καὶ ἀηττήτῳ μονάρχῃ, τῆς τε ἁγίας ἐκκλησίας πρωτοτόκῳ Λοδοβίκῳ ιδ΄, τῶν Γαλλιῶν καὶ τῆς Ναβάρρας βασιλεῖ χριστιανικωτάτῳ.

Τὴν παροῦσαν πρὸς τοὺς τῆς ἑῴας πατριάρχας ἐγχαραχθεῖσαν ἐπιστολὴν, βασιλέων φιλόχριστε, οὐκ ἀξύμφορον οὐδ᾽ ἀλυσιτελῆ θεία μοι ὑπερφυῶς ἐλπὶς γενησομένην βεβαίως ὑποτίθεται, πρός τε τὴν τῶν ἐκκλησιῶν εἰρηνικὴν κατάστασιν τὰ μέγιστα ξυμβαλοῦσαν καὶ συνοίσουσαν ἀσφαλῶς διϊσχυρίζεται. Αὕτη οὖν ἡ ἐπιστολὴ καίτοι γε παρορμητικὴ δὴ πρὸς ἀγαθὸν τυγχάνουσα, χρήζει δὲ μέντοι μεγασθενοῦς ὑπερμάχου καὶ γενναίου προστάτου πρὸς χαλιναγωγίαν καὶ σωφρονισμὸν τῶν ψελλιζουσῶν γλωσσῶν· διὸ ἔδοξεν αὐτῇ ὑπὸ τὸ ἄμαχον καὶ ἀήττητον κράτος τῆς σκέπης τῆς ὑμετέρας ξυνδραμεῖν καὶ καταφυγεῖν γαληνότητος. Καὶ γὰρ ὅτι μάλιστα κατὰ διαδοχὴν τῶν φιλοχρίστων αὐτῆς προγόνων τὸ φιλεῖν τοὺς Γραικοὺς κέκτηται οἱονεὶ κληρονομίαν, καὶ οἶκτον ἔχει περιπαθῆ παρὰ τοὺς πολλοὺς περὶ τὸ ταλαίπωρον τῶν Γραικῶν γένος, καὶ τῆς εὐσεβείας παντὶ σθένει ὑπερασπίζει. Τούτων χάριν ταπεινότατα γονυπετοῦσα ἱκετεύει τὸ ὑμέτερον κράτος ὑπερασπίσαι αὐτῆς πρὸς τὸ τυχεῖν τοῦ ποθουμένου σκοποῦ καὶ τῆς ἐφέσεως εἰς δόξαν μὲν τοῦ ἐν Τριάδι προσκυνουμένου θεοῦ καὶ εὔκλειαν ἀτελεύτητον τῆς ὑμῶν γαληνότητος.

Ἐν τοῖς Παρισίοις,<br>νοεμβρίου κέ, αχξά.

Τῆς φιλοχρίστου σου γαληνότητος<br>ἐλάχιστος δοῦλος,<br>Ἀθανάσιος Ῥήτωρ.

La traduction latine de cette épître, qui figure au recto du feuillet suivant, est datée du 1er janvier 1662. Quant à la lettre proprement dite aux quatre patriarches, le texte grec porte la date du 3 octobre 1661, et la traduction latine celle du 13 novembre de la même année.

Biblioth. nat. de Paris : Inventaire E 3431.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ